eul_wid: ums-aa

*Ἄγνωστος Γεωγραφικός* · Geographical Work Anonymous

# Parthian Stations

*Παρθικαὶ Στάσεις*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Πεζός* Prose

11 1. Διαβάντων τὸν Εὐφράτην κατὰ Ζεῦγμα, πόλις ἐστὶν Ἀπάμεια, εἶτα Δαίαρα κώμη. Ἀπέχει δὲ Ἀπαμείας καὶ τοῦ Εὐφράτου ποταμοῦ σχοίνους γ́. Εἶτα Χάραξ Σίδου, ὑπὸ δὲ Ἑλλήνων Ἀνθεμουσιὰς πόλις, σχοῖνοι έ· μεθ’ ἣν Κοραία ἡ ἐν Βατάνῃ, ὀχύρωμα, σχοῖνοι γ’. Ἐν δεξιοῖς ταύτης Μαννούορρα Λὐυρὴθ, ὀχύρωμα καὶ κρήνη, ἐξ ἧς ἄρδουσιν οἱ ἐγχώριοι, σχοῖνοι έ. Εἶτα Κομμισίμβηλα ὀχύρωμα· παραρρεῖ δὲ ποταμὸς Βίληχα, σχολνοι δ́. Εἶτα Ἄλαγμα ὀχύρωμα, σταθμὸς βασιλικὸς, σχοῖνοι γ́· μεθ’ ὃν Ἴχναι πόλις Ἑλληνὶς, Μακεδόνων κτίσμα· κεῖται δ’ ἐπὶ Βάλιχα ποταμοῦ, σχοῖνοι γ́. Εἶτα Νικηφόριον παῤ Εὐφράτην πόλις Ἑλληνὶς, κτίσμα Ἀλεξάνδρου βασιλέως, σχοῖνοι έ. Ἔνθεν παραποταμία Γαλάβαθα, κώμη ἔρημος, σχοῖνοι δ́, Εἶτα Χουμβανὴ κώμη, σχοῖνος ά ἔνθεν Θιλλάδα Μιρράδα, σταθμὸς βασιλικὸς, σχοῖνοι δ́, βασίλεια, Ἀρτέμιδος ἱερὸν, Δαρείου κτίσμα, κωμόπολις· ἐνταῦθα Σεμιράμιδός ἐστι διῶρυξ, καὶ λίθοις πέφρακται ὁ Εὐφράτης, ἵνα στενοχωρούμενος ὑπερκλύζῃ τὰ πεδία· θέρους μέντοι ναυαγεῖ τὰ πλοῖα, Εἶτα Ἀλλὰν κωμόπολις, σχοῖνοι δ́· ἔνθεν Βηονὰν, Ἀρτέμιδος ἱερὸν, σχοῖνοι δ́. Εἶτα Φάλιγα κώμη πρὸς τῷ Εὐφράτῃ· λέγοιτο δ’ ἂν ἑλληνιστὶ μεσοπορικὸν, σχοῖνοι ζ́. Ἀπὸ Ἀντιοχείας ἕως τούτου σχοῖνοι ρκ́ ἐντεῦθεν δὲ ἐπὶ Σελεύκειαν τὴν πρὸς τῷ Τίγριδι σχοῖνοι ρ́. Παράκειται δὲ τῇ Φάλιγα κωμόπολις Ναβαγὰθ, καὶ παραρρεῖ αὐτὴν ποταμὸς Ἀβούρας, ὃς ἐμβέλλει εἰς τὸν Εὐφράτην· ἐκεῖθεν διαβαίνει τὰ στρατόπεδα εἰς τὴν κατὰ Ῥωμαίους πέραν. Εἶτα Ἄσιχα κώμη, σχοῖνοι δ’· ἔνθεν Δοῦρα Νικάνορος πόλις, κτίσμα Μακεδόνων, ὑπὸ δὲ Ἑλλήνων Εὔρωπος καλεῖται, σχοῖνοι ζ́. Εἶτα Μέραν ὀχύρωμα, κωμόπολις, σχοῖνοι έ. Εἶτα Γιδδὰν πόλις, σχοῖνοι έ. Εἶτα Βηλεσὶ Βιβλάδα, σχοῖνοι ζ. Ἔνθεν νῆσος κατὰ τὸν Εὐφράτην, σχοῖνοι ζ́· ἐνταῦθα γάζα ἦν Φραάτου τοῦ ἀποσφάξαντος τὰς παλλακίδας, ὅτε Τηριδάτης φυγὰς ὢν εἰσέβαλεν. Εἶτα Ἀναθὼ νῆσος κατὰ τὸν Εὐφράτην σταδίων δ́, ἐν ᾗ πόλις, σχοῖνοι δ́· μεθ’ ἣν Θιλαβοὺς νῆσος κατὰ τὸν Εὐφράτην, ἔνθα γάζα Πάρθων, σχοῖνοι β́. Εἶτα Ἴζαν νησόπολις, σχοῖνοι ιβ́. Εἶτα Ἀείπολις, ἔνθα ἀσφαλτίτιδες πηγαὶ, σχοῖνοι ιζ́. Ἔνθεν Βεσήχανα πόλις, ἐν ᾗ ἱερὸν Ἀτάργατι, σχοῖνοι ιβ́. Εἶτα Νεάπολις παρὰ τὸν Εὐφράτην, σχοῖνοι κβ́. Ἔνθεν διαβάντων τὸν Εὐφράτην καὶ Ναρμάλχαν ἐπὶ Σελεύκειαν τὴν πρὸς τῷ Τίγριδι, σχοῖνοι θ́. Ἄχρι τούτου Μεσοποταμία καὶ Βαβυλωνία· καὶ εἰσὶν ἀπὸ Ζεύγματος ἄχρι Σελευκείας σχοῖνοι ροά.

12 20. Athenæus III, p. 93, D’Ισίδωρος δ’ ὁ Χαρακηνὸς ἐν τῷ τῆς Παρθίας Περιηγητικῷ κατὰ τὸ Περσικὸν πέλαγος νῆσόν φησιν εἶναί τινα, ἔνθα πλείστην μαργαρῖτιν εὑρίσκεσθαι. Διόπερ σχεδίας καλαμίνας πέριξ εἶναι τῆς νήσου, ἐξ ὧν καθαλλομένους εἰς τὴν θάλασσαν ἐπ’ ὀργυιὰς

εἴκοσιν ἀναφέρειν διπλοῦς κόγχους. Φασὶ δ̓ , ὅταν βρονταὶ συνεχεῖς ὦσι καὶ ὄμβρων ἐκχύσεις, τότε μᾶλλον τὴν πίνναν κύειν, καὶ πλείστην γίγνεσθαι μαργαρῖτιν καὶ εὐμεγέθη. Τοῦ δὲ χειμῶνος εἰς τὰς ἐμβυθίους θαλάμας δύνειν εἰώθασιν αἱ πίνναι· θέρους δὲ τὰς μὲν νύκτας κεχήνασι διανηχόμεναι, ἡμέρας δὲ μύουσιν. Ὅσαι δ’ ἂν πέτραις ἢ σπιλέσι πρεσφυῶσι, ῥιζοβολοῦσι, κἀνταῦθα ἐνὸῦσαι τὴν μαργαρῖτιν γεννῶσι. Ζωογονοῦνται δὲ καὶ τρέφονται διὰ τοῦ προσπεφυκότος τῆ σαρκὶ μέρους. Τοῦτο δὲ συμπέφυκε τῷ τοῦ κόγχου στόματι, χηλὰς ἔχον καὶ νομὴν εἰσφέρον. Ὃ δή ἐστιν ἐοικὸς καρκίνῳ μικρῷ, καλούμενον πιννοφύλαξ. Διήκει δ’ ἐκ τούτου ἡ σὰρξ μέχρι μέσου τοῦ κόγχου, οἱονεὶ ῥίζα, παῤ ἣν ἡ μαργαρῖτις γεννωμένη, αὔξεται διὰ τοῦ στερεοῦ τῆς κόγχης, καὶ τρέφεται, ὅσον ἂν ᾖ προσπεφυκυῖα χρόνον. Ἐπειδὰν δὲ παρὰ τὴν ἔκφυσιν ὑποδυομένη ἡ σὰρξ καὶ μαλακῶς ἐντέμνουσα χωρίσῃ τὴν μαργαρῖτιν ἀπὸ τοῦ κόγχου, ἀμπέχουσα μὲν οὐκέτι τρέφει, λειοτέραν δ’ αὐτὴν καὶ διαυγεστέραν ποιεῖ καὶ καθαρωτέραν. Ἡ μὲν οὖν ἐμβύθιος πίννα διαυγεστάτην ποιεῖ καὶ καθαρωτάτην καὶ μεγάλην γεννᾷ μαργαρῖτιν, ἡ δὲ ἐπιπολάζουσα καὶ ἀνωφερής διὰ τὸ ὑπὸ τοῦ ἡλίου ἀκτινοβολεῖσθαι, δύσχρους καὶ ἥσσων. Κινδυνεύουσι δ’ οἱ θηρῶντες τοὺς μαργαρίτας, ὅταν εἰς κεχηνότα κόγχον κατ’ εὐθὺ ἐκτείνωσι τὴν χεῖρα· μύει γὰρ τότε, καὶ πολλάκις οἱ δάκτυλοι αὐτῶν ἀποπρίονται· ἔνιοι δὲ καὶ παραχρῆμα ἀποθνήσκουσιν. Ὁσοι δ’ ἂν ἐκ πλαγίου ὑποθέντες τὴν χεῖρα τύχωσι, ῥᾳδίως τοὺς κόγχους ἀπὸ τοῦ λίθου ἀπο· πῶσιν.

13 34. Lucianus Macrob. c. 15 Ἀρταξέρξης ἕτερος Περσῶν βασιλεὺς, ὅν φησιν ἐπὶ τῶν πατέρων ἑαυτοῦ Ἰσίδωρος ὁ Χαρακηνὸς συγγραφτὺς βασιλεύειν, ἔτη ερία καὶ ἐνενήκοντα βιοὺς ἐπιβουλῇ τἀδελφοῦ Γωσίθρου ἐδολοφονήθη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org